# 137. THE RICH YOUNG MAN (Mk-Lk Identicals)

| Mark 10:17-31 | Luke 18:18-30 |
|---|---|
| *10·17 Καὶ ἐκπορευομένου αὐτοῦ<br>εἰς ὁδὸν* | *19·18 Καὶ* |
| *προσδραμὼν εἷς* | *ἐπηρώτησέν τις αὐτὸν ἄρχων* |
| *καὶ γονυπετήσας αὐτὸν<br>ἐπηρώτα αὐτόν,* | *λέγων,* |
| *Διδάσκαλε ἀγαθέ, τί ποιήσω* | *Διδάσκαλε ἀγαθέ, τί ποιήσας* |
| *ἵνα ζωὴν αἰώνιον κληρονομήσω* | *ζωὴν αἰώνιον κληρονομήσω* |
| *ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ,* | *18·19 εἶπεν δὲ αὐτῷ ὁ Ἰησοῦς,* |
| *Τί με λέγεις ἀγαθόν* | *Τί με λέγεις ἀγαθόν* |
| *οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός.* | *οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός.* |
| *19 τὰς ἐντολὰς οἶδας·* | *20 τὰς ἐντολὰς οἶδας·* |
| *Μὴ φονεύσῃς,* | |
| *Μὴ μοιχεύσῃς,* | *Μὴ μοιχεύσῃς,<br>Μὴ φονεύσῃς,* |
| *Μὴ κλέψῃς,* | *Μὴ κλέψῃς,* |
| *Μὴ ψευδομαρτυρήσῃς,<br>Μὴ ἀποστερήσῃς,* | *Μὴ ψευδομαρτυρήσῃς,* |
| *Τίμα τὸν πατέρα σου καὶ* | *Τίμα τὸν πατέρα σου καὶ* |
| *τὴν μητέρα.* | *τὴν μητέρα.* |
| *10·20 ὁ δὲ ἔφη αὐτῷ,<br>Διδάσκαλε,* | *18·21 ὁ δὲ εἶπεν,* |
| *ταῦτα πάντα ἐφυλαξάμην<br>ἐκ νεότητός μου.* | *Ταῦτα πάντα ἐφύλαξα<br>ἐκ νεότητος.* |
| *ὁ δὲ Ἰησοῦς ἐμβλέψας αὐτῷ<br>ἠγάπησεν αὐτὸν* | |
| *καὶ εἶπεν αὐτῷ,* | *18·22 ἀκούσας δὲ ὁ Ἰησοῦς εἶπεν<br>αὐτῷ,* |
| *Ἕν σε ὑστερεῖ·* | *Ἔτι ἕν σοι λείπει·* |
| *ὕπαγε ὅσα ἔχεις πώλησον* | *πάντα ὅσα ἔχεις πώλησον* |
| *καὶ δὸς τοῖς πτωχοῖς,* | *διά δος πτωχοῖς,* |
| *καὶ ἕξεις θησαυρὸν* | *καὶ ἕξεις θησαυρὸν* |
| *ἐν οὐρανῷ,* | *ἐν τοῖς οὐρανοῖς,* |
| *καὶ δεῦρο ἀκολούθει μοι.* | *καὶ δεῦρο ἀκολούθει μοι.* |
| *10·22 ὁ δὲ στυγνάσας* | *18·23 ὁ δὲ ἀκούσας* |
| *ἐπὶ τῷ λόγῳ* | *ταῦτα* |
| *ἀπῆλθεν λυπούμενος,* | *περίλυπος ἐγενήθη,* |

| Mark 10:17-31 | Luke 18:18-30 |
| --- | --- |
| *ἦν γὰρ ἔχων κτήματα πολλά. 10·23 Καὶ περιβλεψάμενος* | *ἦν γὰρ πλούσιος σφόδρα. 24 Ἰδὼν δὲ αὐτὸν* |
| *ὁ Ἰησοῦς λέγει* | *ὁ Ἰησοῦς περίλυπον γενόμενον εἶπεν,* |
| *τοῖς μαθηταῖς αὐτοῦ,* | |
| *Πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες* | *Πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες* |
| *εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελεύσονται.* | *εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσπορεύονται·* |
| *10·24 οἱ δὲ μαθηταὶ ἐθαμβοῦντο ἐπὶ τοῖς λόγοις αὐτοῦ. ὁ δὲ Ἰησοῦς πάλιν ἀποκριθεὶς λέγει αὐτοῖς, Τέκνα, πῶς δύσκολόν ἐστιν εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν·* | |
| *εὐκοπώτερόν ἐστιν* | *25 εὐκοπώτερον γάρ ἐστιν* |
| *κάμηλον διὰ τῆς τρυμαλιᾶς* | *κάμηλον διὰ τρήματος* |
| *τῆς ῥαφίδος διελθεῖν* | *βελόνης εἰσελθεῖν* |
| *ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν.* | *ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν.* |
| *οἱ δε* | |
| *περισσῶς ἐξεπλήσσοντο* | |
| *λέγοντες πρὸς ἑαυτούς,* | *18·26 εἶπαν δὲ οἱ ἀκούσαντες,* |
| *Καὶ τίς δύναται σωθῆναὶ 10·27 ἐμβλέψας αὐτοῖς* | *Καὶ τίς δύναται σωθῆναὶ* |
| *ὁ Ἰησοῦς λέγει,* | *18·27 ὁ δὲ εἶπεν,* |
| *Παρὰ ἀνθρώποις ἀδύνατον* | *Τὰ ἀδύνατα παρὰ ἀνθρώποις* |
| *ἀλλ  οὐ παρὰ θεῷ,* | |
| *πάντα γὰρ δυνατὰ παρὰ τῷ θεῷ.* | *δυνατὰ παρὰ τῷ θεῷ ἐστιν.* |
| *10·28 Ἤρξατο λέγειν ὁ Πέτρος αὐτῷ,* | *18·28 Εἶπεν δὲ ὁ Πέτρος,* |
| *Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα* | *Ἰδοὺ ἡμεῖς ἀφέντες τὰ ἴδια* |
| *καὶ ἠκολουθήκαμέν σοι.* | *ἠκολουθήσαμέν σοι.* |

| Mark 10:17-31 | Luke 18:18-30 |
|---|---|
| *10·29 ἔφη ὁ Ἰησοῦς,*<br>*Ἀμὴν λέγω ὑμῖν,*<br>*οὐδείς ἐστιν ὃς ἀφῆκεν* | *18·29 ὁ δὲ εἶπεν αὐτοῖς,*<br>*Ἀμὴν λέγω ὑμῖν ὅτι*<br>*οὐδείς ἐστιν ὃς ἀφῆκεν* |
| *οἰκίαν* | *οἰκίαν* |
| *ἢ ἀδελφοὺς ἢ ἀδελφὰς* | *ἢ γυναῖκα ἢ ἀδελφοὺς* |
| *ἢ μητέρα ἢ πατέρα ἢ τέκνα* | *ἢ γονεῖς ἢ τέκνα* |
| *ἢ ἀγροὺς* | |
| *ἕνεκεν ἐμου*<br>*καὶ ἕνεκεν τοῦ εὐαγγελίου,*<br>*30 ἐὰν μὴ λάβῃ* | *ἕνεκεν*<br>*τῆς βασιλείας τοῦ θεοῦ,*<br>*30 ὃς οὐχὶ μὴ ἀπολάβῃ* |
| *ἑκατονταπλασίονα*<br>*νῦν ἐν τῷ καιρῷ τούτῳ*<br>*οἰκίας καὶ ἀδελφοὺς καὶ ἀδελφὰς*<br>*καὶ μητέρας καὶ τέκνα καὶ ἀγροὺς*<br>*μετὰ διωγμῶν,* | *πολλαπλασίονα*<br>*ἐν τῷ καιρῷ τούτῳ* |
| *καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ* | *καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ* |
| *ζωὴν αἰώνιον.* | *ζωὴν αἰώνιον.* |
| *31 πολλοὶ δὲ ἔσονται πρῶτοι*<br>*ἔσχατοι* | |
| *καὶ οἱ ἔσχατοι πρῶτοι.* | |

252 words out of 479 = 53%